ἀπωλόμεσθα, μῆτερ· οἰκτείρω δὲ σὲ
καὶ τήνδ᾽ ἀδελφὴν καὶ κασίγνητον νεκρόν.
φίλος γὰρ ἐχθρὸς ἐγένετ᾽, ἀλλ᾽ ὅμως φίλος.
θάψον δέ μ᾽, ὦ τεκοῦσα καὶ σύ, σύγγονε,
ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω
χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.
ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερί,
μῆτερ· τίθησι δ᾽ αὐτὸς ὀμμάτων ἔπι·
καὶ χαίρετ᾽· ἤδη γάρ με περιβάλλει σκότος.
ἄμφω δ᾽ ἅμ᾽ ἐξέπνευσαν ἄθλιον βίον.
μήτηρ δ᾽, ὅπως ἐσεῖδε τήνδε συμφοράν,
ὑπερπαθήσασ᾽ ἥρπασ᾽ ἐκ νεκρῶν ξίφος
κἄπραξε δεινά· διὰ μέσου γὰρ αὐχένος
ὠθεῖ σίδηρον, ἐν δὲ τοῖσι φιλτάτοις
θανοῦσα κεῖται περιβαλοῦσ᾽ ἀμφοῖν χέρας.
ἀνῇξε δ᾽ ὀρθὸς λαὸς εἰς ἔριν λόγων,
ἡμεῖς μὲν ὡς νικῶντα δεσπότην ἐμόν,
οἳ δ᾽ ὡς ἐκεῖνον. ἦν δ᾽ ἔρις στρατηλάταις,
οἳ μὲν πατάξαι πρόσθε Πολυνείκην δορί,
οἳ δ᾽ ὡς θανόντων οὐδαμοῦ νίκη πέλοι.
οἳ δ᾽ εἰς ὅπλ᾽ ᾖσσον· εὖ δέ πως προμηθίᾳ
καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι·
κἄφθημεν οὔπω τεύχεσιν πεφραγμένον
Ἀργεῖον εἰσπεσόντες ἐξαίφνης στρατόν.
κοὐδεὶς ὑπέστη, πεδία δ᾽ ἐξεπίμπλασαν
φεύγοντες, ἔρρει δ᾽ αἷμα μυρίων νεκρῶν
λόγχαις πιτνόντων. ὡς δ᾽ ἐνικῶμεν μάχῃ,
οἳ μὲν Διὸς τρόπαιον ἵστασαν βρέτας,
οἳ δ᾽ ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν
σκυλεύματ᾽ εἴσω τειχέων ἐπέμπομεν.

---

κἂν τῷδ᾽ ὑπεξῆλθ᾽ Ἀντιγόνη στρατοῦ δίχα.

---

1449. schol.: *γράφεται καὶ τοσόνδε δὴ τύχω.* 1456. *ἥρπασεν νεκρῶν ξίφος* A *ἥρπασ᾽ ἐκ νεκρῶν ξίφος* Bbc *ἐκ νεκρῶν εἷλε ξίφος* F *ἐκ νεκρῶν ξίφος ἥρπασε* C 1458. schol.: *γράφεται σὺν τέκνοις δὲ φιλτάτοις.* 1460. *ὁ λαός* C 1471. *μυρίον* cC